μεμαθήκαμεν ἐν τῷ Φαίδωνι· τελευτῶν ὁ Σωκράτης εἶπεν τοῖς ἑταίροις αὐτοῦ, ὅτι τούτοις τοῖς λόγοις συνεχῶς κατεπάδετε ἑαυτούς, ἵνα μὴ κρατήσωσιν ὑμῶν τὰ πάθη· τῶν δὲ εἰπόντων, ὅτι καὶ τίς ὁ κατεπᾴδων σοῦ ἀπιόντος, ἔφη ὁ Σωκράτης, ὅτι μεστὴ μὲν ἡ Ἑλλάς, μεστὴ δὲ τῶν βαρβάρων ἡ χώρα· μὴ κατοκνήσητε οὖν καὶ χρήματα ἀναλῶσαι πρὸς τὸ ὠφεληθῆναι· καλὸν γὰρ τὸ ἐν καιρῷ ἀναλίσκειν. ἐπεὶ τοίνυν τοῦτο εἶπεν, ὁ Πλάτων ἐφύλαξεν, καὶ ἀκούσας ἐν Σικελίᾳ Πυθαγορίους εἶναι, ἀπῆλθεν ὠφεληθησόμενος· παρὰ γὰρ Σωκράτους τὰ ἠθικὰ ὠφέλητο μόνον, ἃ διὰ θεμελίους εἰλήφει· νέος γὰρ ἦν ἔτι Σωκράτους ἀποθανόντος καὶ οὐδέπω ἦν ἁψάμενος τῶν βαθυτέρων τοῦ Σωκράτους λόγων. ὅτι δὲ νέος ἦν, δῆλον ἐκ τοῦ ἀπολογητικοῦ αὐτοῦ· ἠθέλησεν γὰρ ὑπὲρ Σωκράτους ἀπολογήσασθαι, καὶ ἀνελθὼν ἐπὶ τὸ βῆμα εἶπεν· νεώτατος εἰπεῖν· εἶτα οὐ συνεχωρήθη ἄλλο τι εἰπεῖν, ἀλλ' εὐθέως
7 τοῦτο αὐτῷ εἰρηκότι ἔκραξαν ἅπαντες· κατάβα, κατάβα. ἀπῆλθεν οὖν εἰς Σικελίαν καὶ εὗρεν τοὺς Πυθαγορίους ἀσκοῦντας εἰς ἄκρον τὰ μαθήματα, γεωμετρίαν καὶ ἀστρονομίαν, καὶ ὑπέστρεψεν ὀφείλων καὶ αὐτὸς κατορθῶσαι· εἶτα ἦλθεν εἰς τὴν Λιβύην καὶ ἐν Κυρήνῃ παρὰ Θεοδώρῳ ἐπαιδεύθη τὴν γεωμετρίαν· ἐκεῖθεν ἐλθὼν εἰς Αἴγυπτον καὶ ἀστρονομίαν κατώρθωσεν, καὶ ὅπως ἐτιμήθη παιδευόμενος, οὐ δεῖ λέγειν. κατορθώσας τοίνυν ὑπέστρεφεν ἐπὶ Σικελίαν βουλόμενός τε ἱστορῆσαι τοὺς πυρίνους κρατῆρας τῆς Αἴτνης καὶ ἐντυχεῖν τοῖς Πυθαγορίοις· ἐλθὼν τοίνυν εἰς Σικελίαν εὗρεν τὸν Δίωνα γνήσιον ἐραστὴν τῆς φιλοσοφίας, καὶ ἐτίμησε τὸν Πλάτωνα διὰ τὸ θεῖον ἦθος. οὗτος δὲ ὁ Δίων εἶχεν ἀδελφὴν

14 cf. Diog. L. II 5, 20 25 cf. schol. in Plat. p. 390; Plut. Dion. 3 sqq.

16 mg. σῃ.
27 mg. ἀδελφοὶ ἄμφω




9 γὰρ mg. add Mᶜ

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id408547804/202 UNIVERSITÄT LEIPZIG